εἶτα δὲ προχειρισθεὶς μητροπολίτης Γάζης καὶ εἰς Ῥωσσίαν μεταβάς, ἔνθα καὶ ἐτελεύτησεν ἐν ἔτει 1678, καὶ γνωσιμαχήσας ἔγραψε λατινιστὶ 1) Περὶ τοῦ ἁγίου Πνεύματος, ὅτι ἐκ μόνου τοῦ Πατρὸς ἐκπορεύεται. 2) Κατὰ τῆς ἀρχῆς τοῦ Πάπα. Ἀμφότερα τὰ πονήματα εἶδε χειρόγραφα παρὰ τῷ μητροπολίτῃ Κιέβου Βαρλαὰμ Γιασίκσῃ ὁ Ἱεροσολύμων Χρύσανθος, ὡς ὁ αὐτὸς λέγει ἐν σελ. 1181 τῆς περὶ τῶν ἐν Ἱεροσολύμοις πατριαρχευσάντων ἱστορίας τοῦ Πατριάρχου Δοσιθέου.

***Ἱερεμίας Κακαβέλας***, Κρής, „ἀνὴρ εἰδήμων τῆς Ἑλληνικῆς καὶ Λατινικῆς καὶ Ἑβραϊκῆς καὶ Ἰταλικῆς διαλέκτου, πεπαιδευμένος τήν τε θύραθεν φιλοσοφίαν καὶ μάλιστα τὴν ἱερὰν θεολογίαν, κήρυξ τοῦ εὐαγγελικοῦ λόγου δοκιμώτατος", ὡς ὁ Δημήτριος Προκοπίου λέγει. Περιῆλθε πολλὰ τῆς Εὐρώπης μέρη ἀπὸ τοῦ ἔτους 1665—1670. Ἔζη ἔτι κατὰ τὸ ἔτος 1698 ἐν Ἰασίῳ. Συνέγραψε τὰ ἑξῆς τρία πονήματα. 1) Πραγματείαν περὶ τῶν πέντε διαφορῶν περὶ ὧν ἡ Ἑλληνικὴ ἐκκλησία διαφέρεται πρὸς τὴν Ῥωμαϊκήν, ἧς ἀρχή. Πολλάκις ἐν διαφόροις. 2) Πραγματείαν περὶ ἀζύμων, ἧς ἡ ἀρχή. Τὸν μέλλοντα μυστηρίων. 3) Ἔκθεσιν τῶν τῆς Ἀνατολικῆς Ἐκκλησίας δογμάτων, ἧς ἡ ἀρχή. Ὁμολογεῖται σχεδὸν παρὰ πάσαις ταῖς ἐκκλησίαις τῶν ἑσπερίων. Ἀντίγραφον τῶν πραγματειῶν τούτων ἀπόκειται ἐν τῇ ἐν Ὀξωνίᾳ βιβλιοθήκῃ τοῦ Colleg. Reginens. ὑπ' ἀριθμὸν 217, ἐν ᾧ σημειοῦται, ὅτι ἐγράφη χειρὶ τοῦ αὐτοῦ συγγραφέως ἐν Λονδίνῳ ἐν ἔτει 1667. Ἰδὲ Catalog. cod. Mss. Colleg. Reginens. p. 49.

***Βησσαρίων Μακρῆς***, ἱερομόναχος, ἐξ Ἰωαννίνων. Οὗτος ἀπελθὼν εἰς Κωνσταντινούπολιν ἐμαθήτευσε παρὰ Ἰωάννῃ τῷ Καρυοφύλλῃ καὶ Ἀλεξάνδρῳ τῷ Μαυροκορδάτῳ· ὑποστρέψας δὲ εἰς Ἰωάννινα ἐγένετο διδάσκαλος τῆς αὐτόθι νεωστὶ